eul_wid: smk-aa

*Ἀνώνυμος μαγικὰ συγγράμματα* · Magical Treatises Anonymous

# Magical Papyri Christian Fragments

*Μαγικὰ Πάπυροι Χριστιανικὰ Ἀποσπάσματα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἅγιος, ὁ ἀληθινός, φιλάνθρωπος καὶ δημιουργός, ὁ πατὴρ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, φανέρωσόν μοι τὴν παρὰ σοὶ ἀλήθιαν· εἰ βούλῃ με ἀπελθεῖν εἰς Χιουτ, ἢ εὑρίσκω σὲ σὺν ἐμοὶ πράττοντα καὶ εὐμενῆν; γένοιτο, ἀμήν. Τὴν θύραν, τὴν Ἀφροδίτην φροδιτην ροδιτην οδιτην διτην ιτην την ην 〈ν〉 Ὡρ Ὡρ φωρ φωρ, Ἰάω Σαβαώθ, Ἀδονέ, δένο σε, σκορπίε Ἀρτερήσιε· ἀπάλλαξον τὸν οἶκον τοῦτον ἀπὸ παντὸς κακοῦ ἑρπετοῦ [καὶ] πράγματος, ταχύ, ταχύ.

2 ὁ ἅγιος Φωκᾶς ὧδέ ἐστιν. Φ[α]μενωθ ιγʹ, ἰνδ(ικτιῶνος) τρίτης. Ἡ ἰσχὺς τοῦ θ(εο)ῦ ἡμῶν ἐνίσχυσεν, καὶ ἐπέβη κύριος ἐπὶ τὴν θύραν καὶ οὐκ ἔασεν τὸν ἐξολεθρεύοντα εἰσελθεῖν.

2a Ἀβραὰμ 〈ὧ〉 δε κατ[οικεῖ.] τὸ αἷμ[α τοῦ Χριστοῦ,] παῦσον τὸ κακόν. ⋇ ΧΜΓ Ὡρ Ὡρ φωρ φωρ, Ἰάω, Σαβαώθ, Ἀδωναί; Ἐλωέ, Σαλαμαν Ταρχ[ει· ] δέννω σε, σκορπίε Ἀρτεμίσιε, τιεʹ, διαφύλαξον τὸν οἶκον τοῦτον μετὰ τῶν ἐνοικούντων ἀπὸ παντὸς κακοῦ, ἀπὸ βασκοσύνης πάσης ἀερίνων πνευμάτων καὶ ἀνθρωπίνου ὀφθαλ[μοῦ] καὶ πόνου δεινοῦ [καὶ] δήγματος σκορπίου καὶ ὄφεως, διὰ τὸ ὄνομα τοῦ ὑψίστου θεοῦ ναιας μελι ζʹ ξυρουρο ααααaa Βαϊνχωωωχ μαριιι ιι λ ηναγ κορη· φύλαξον, κύριε, υἱὲ τοῦ Δαυῒδ κατὰ σάρκα, ὁ τεχθεὶς ἐκ τῆς ἁγίας παρθένου Μαρίας, ἅγιε, ὕψιστε θεέ, ἐξ ἁγίου πνεύματος.

3 δόξα σοι, οὐράνιε βασιλεῦ. ἀμήν. Α Ω ☧ Α Ω. ΙΧΘΥΣ. Ἰαματικὸν εὐαγγέλιον κατὰ Ματθαῖον· καὶ περιῆγεν ὁ Ἰ(ησοῦ)ς ὅλην τὴν Γαλιλέαν, διδάσκων καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασειλείας καὶ θεραπεύων πᾶσαν νόσον ⟦ καὶ πᾶσαν νόσον ⟧ καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, καὶ προσήνενκαν αὐτῷ τοὺς κακῶς ἔχοντας καὶ ἐθεράπευσεν αὐτοὺς ὁ Ἰ(ησοῦ)ς.

5a Ἦ μὴν φυλάξῃς καὶ συντηρήσῃς Ἀρίας ἀπὸ τοῦ ἐπιημερινοῦ φρικὸς καὶ ἀπὸ τοῦ καθημερινοῦ φρικὸς καὶ ἀπὸ τοῦ νυκτερινοῦ φρικὸς καὶ ἀπὸ τοῦ λεπτοῦ πυρε[τοῦ τοῦ τῆς κορυ-] φῆς. ταῦτα εὐ[μενῶ]ς [π]ρά[ξ]εις ὅλως κατὰ τὸ θέλημά σου πρῶτον καὶ κατὰ τὴν πίστιν αὐτῆς, ὅτι δούλη ἐστὶν τοῦ θ(εο)ῦ τοῦ ζῶντος, καὶ ἵνα τὸ ὄνομά σου ᾖ διὰ παντὸς δεδοξασμέν[ον.] [δύναμ]ις α Ἰ(ησο)ῦ πατήρ, υἱός, μήτηρ Χ(ριστο)ῦ ο η υ ι πν(εῦμ)α ΑΩ ἅγιον ω Ἀβρασάξ Φεῦγε, πνεῦμα μεμισημένον· Χ(ριστό)ς σε διώκει.

5b προέλαβέν σε ὁ υἱὸς τοῦ θ(εο)ῦ καὶ τὸ πν(εῦμ)α τὸ ἅγιον. ὁ θ(εὸ)ς τῆς προβατικῆς κολυμβήθρας, ἐξελοῦ τὴν δούλην σου Ἰωαννίαν, ἣν ἔτεκεν Ἀναστασία ἡ καὶ Εὐφημία, ἀπὸ

παντὸς κακοῦ. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θ(εό)ν, καὶ θ(εὸ)ς ἦν ὁ λόγος. πάντα δι’ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. κ(ύρι)ε Χ(ριστ)έ, υἱὲ καὶ λόγε τοῦ θ(εο)ῦ τοῦ ζῶντος, ὁ ἰασάμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ἴασαι καὶ ἐπίσκεψαι καὶ τὴν δούλην σου Ἰωαννίαν, ἣν ἔτεκεν Ἀναστασία ἡ καὶ Εὐφημία, καὶ ἀποδίωξον καὶ φυγάδευσον ἀπ’ αὐτῆς πάντα πυρετὸν καὶ παντοῖον ῥῖγος, ἀμφημερινόν, τριτ ε͂ον, τεταρτ ε͂ ον, καὶ πᾶν κακόν. εὔχεσθε πρεσβίας τῆς δεσποίνης ἡμῶν, τῆς θεοτόκου, καὶ τῶν ἐνδόξων ἀρχαγγέλων καὶ τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ καὶ θεολόγου Ἰωάννου καὶ τοῦ ἁγίου Σερήνου καὶ τοῦ ἁγίου Φιλοξένου καὶ τοῦ ἁγίου Βίκτωρος καὶ τοῦ ἁγίου Ἰούστου καὶ πάντων τῶν ἁγίων, ὅτι τὸ ὄνομά σου, κ(ύρι)ε ὁ θ(εό)ς, ἐπεκαλεσά[μ]ην, τὸ θαυμαστὸν καὶ ὑπερένδοξον καὶ φοβερὸν τοῖς ὑπεναντίοις, ἀμήν. [55]

5b (50) [εἰ]ς τὴν ἀντίλημψίν μου πρόσχες.

5c ἐκ χειρὸς κυνὸς [ 16] ἀπὸ κεράτων μονοκερώ[των] [ τ]οῖς ἀδελφοῖς μου ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. ἐμὸν [ 11] καὶ μαρτύρων μαρτυρησάντων [ ]ς, Σαββάτιος, Προβάτιος, Στέφανος, Κυριακός, εὐχαῖς αὐτῆς [ 5] ἀγαθέ, φύλαξον τὴν δούλην σου [ἀπὸ πάσης νόσου σώμα]τος αὐτῆς καὶ λυτρώσεις αὐτὴν ἀπὸ πάσης ἀρρωστείας τῆς περὶ ψυχῆς αὐτ(ῆς), διὰ τὸ ὄνομα τοῦ κ(υρίο)υ. ἡ σωτηρία [ τ]οῦ θ(εο)ῦ ζῶντος. [ἐπειδήπ]ερ πολλοὶ ἐ[πε]χείρησαν ἀνατάξασθ(αι) διήγησιν περὶ τ(ῶν) πεπληροφο(ρημένων) ἐν ἡμῖν πραγμ(ά)τ(ων). βίβλος γενέσεως Ἰ(ησο)ῦ Χ(ριστο)ῦ. ἐν ἀρχῇ [ἦν ὁ] λόγος, κ[αὶ] ὁ λό[γ]ο[ς ἦν πρὸς τὸν] θ(εό)ν, καὶ θ(εὸ)ς [ἦ]ν ὁ λόγος . ἅγιε Φωκᾶ, ἅγιε Μερκούριε, φύλαξον τὴν δούλ(ην) σου . [Δόξα] τῷ πατρὶ καὶ τῷ υἱῷ [κα]ὶ τῷ ἁ[γίῳ πν]ε[ύματι] νῦν κα 〈ὶ〉 〈ἀ〉 εὶ καὶ 〈εἰσ〉 τοὺς αἰῶνας τ[ῶν αἰώνων. [6]

5d τὸν] υἱὸν μονογενῆ περιβέβλημα[ι·] φύγε ἀπ’ ἐμοῦ, πᾶν κακόν, πᾶν πο[νηρόν,] τὸ αἷμα τοῦ Χριστοῦ, φεῖσαι τῷ φοροῦντ[ι.] Ὡρ Ὡρ φωρ Ἐλωεί, Ἀδωναί, Ἰάω, Σαβαώθ, Μιχαήλ, Ἰεσοῦ Χριστέ· βοήθι ἡμῖν καὶ τούτῳ οἴκῳ. [5]

6a ἀμήν. Ὁ θεὸς τῶν παρακειμένων σταυρῶν, βοήθησον τὸν δοῦλόν σου Ἀπφουαν, ἀμήν. [5]

6c κύριε, θεέ μου, καὶ ὑ ἐρπίς μου, ὦψε Θέκλᾳ καὶ τοῖς τέκνοις αὐτῆ 〈σ〉 , ὦψε Ἀννηα καὶ τῆς δούλης αὐτῆς, ὦψε Ἀπφους, ὦψε Σακαυων, ὦψε Διωνυσίου καὶ τῶν τέκνον αὐτοῦ, ὦψε Ἑλλαδίου, ὦψε Πτολεμέου, ὦψε κατ’ ὄνομα. [ ] πάντα γὰρ ὑπήκο[α ] τὰ νῦν, κ(ύρι)ε, ἐλθὲ εἰς ἔλεος καὶ εὐμενίαν τῆς δούλης σου Νοννοῦδος καὶ κούφισον [αὐτὴν πάντων τῶν κακ]ῶν τῶν περιεχόντων. [5]

7 (15) Ἀπήντησαν ἡμ[ῖν τρεῖς ἄνδρες] ἐν τῇ ἐρήμῳ κ[αὶ εἶπαν τῷ κυρίῳ] Ἰεσοῦ· ‘τί[ς] ἔνη θαραπία ἀρρώ[στοισ‘;] καὶ λέγι αὐτοῖς· ‘ἔλεον ἀπέδ[ωκα ἐ-] λήας καὶ σβύρν[α]ν ἐξέχ[υσα τοῖς] πεποιθόσι τ[ῷ ὀνόματι τοῦ] πατρὸς καὶ ἁγ[ί]ου [πνεύματος καὶ τοῦ] υἱοῦ‘. Ἄγγελοι κυρίου ἀνῆρθαν πρὸς μ[έσον] τὸν οὐρανόν, ὀφθαλμοὺς πονο 〈ῦ〉 ντες καὶ σφόγγον κρατοῦντες. λέγι αὐτοῖς ὁ κυρίου· ‘τί ἀνήρθατε, ἁγνοί, πανκάθαροι;‘ ‘ἴασιν λαβῖν ἀνήλθαμεν, Ἰαὼ Σαβαώθ, ὅτι σοὶ δοινατὸς καὶ οἰσχιρόσ‘. Δέσποτά μου, θεὲ παντοκράτωρ, καὶ ἅγι[ε] Φιλόξενε, πρόστατά μου, παρακαλῶ ὑμᾶς διὰ τὸ μέγα ὄνομ[α] τοῦ δεσπότου θεοῦ· ἐὰν οὐκ ἔστιν θέλημα ὑμῶν μὴ λαλῆσαί με μηδὲ περὶ τραπέζ[ης] μηδὲ περὶ ζυγοστασίας, παρακελεῦσαί με μαθεῖν, ἵνα μὴ λαλήσω. [5]

8a,rec ΧΜΓ ΧΜΓ ΧΜΓ Ὁ θεὸς τοῦ προστάτου ἡμῶν, τοῦ ἁγίου Φιλοξένου· ἐὰν κελεύεις εἰσενεγκεῖν εἰς τὸ νοσοκομῖόν σου Ἀνουπ, δεῖξον τὴν δύναμ[ίν σου,] καὶ ἐξέλθῃ τὸ πιττάκιον. [5]

9 Δέσποτα, θεὲ παντοκράτωρ, ὁ πατὴ[ρ] τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν [Ἰησοῦ Χριστοῦ, κ]αὶ ἅγιε Σερῆνε, εὐχαριστῶ ἐγὼ Σιλουανός, υἱὸς Σαραπίωνος, καὶ κλίνω τὴν κεφαλήν [μο]υ κατενώπιόν σου αἰτῶν καὶ παρακαλῶν, ὅπως διώξῃς ἀπ’ ἐμοῦ, τοῦ δούλου σου, τὸν δαίμονα προβασκανίας καὶ τὸν κ[ακο]ε[ρ]γίας καὶ τὸν τῆς ἀηδίας, κα[ὶ] πᾶσαν δὲ νόσον καὶ πᾶσαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαλακίαν ἄφελε ἀπ’ ἐμοῦ, ὅπως ὑγιάνω κ(αὶ) [μελ-] λ[ήσω] εἰπεῖν τὴν εὐαγγελικὴν εὐχὴν [ὑγιής]· ‘πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐραν[οῖς, ἁγιασθήτω] τὸ ὄνομά σου, ἐλθάτω ἡ βα[σιλεία σ]ου, γενηθήτω τὸ θέλημά [σου ὡς] ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. τὸν ἄρτον ἡ[μῶν τὸ]ν ἐπιούσιον δὸς ἡ[μῖν] σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλ[ή-] ματα ἡμῶν, [κα]θὰ καὶ ἡμεῖς ἀφείε[μεν] τοῖς ὀφει[λέταις ἡμῶν], καὶ [μὴ] ἄγε ἡμᾶς εἰς πειρασμόν, κύριε, ἀ[λλὰ] ῥῦσ[αι ἡ-] μᾶς ἀπὸ τῆς πονηρ[ίας· σοῦ γάρ ἐστιν] ἡ δόξ[α εἰς] τοὺς αἰῶν[ασ‘ ......... ] καὶ ἡ τῶν ... ἐν ἀρχῇ ἦν ὁ [λόγο]ς. βίβλος γε[νέσεως Ἰησοῦ Χριστοῦ, υἱ]ο[ῦ Δαυίδ, υἱοῦ Ἀβραάμ.] ὦ φῶς ἐκ φωτός, θεὸς ἀληθινός, χάρισον ἐμέ, τὸν δοῦλόν σου, τὸ φῶς. ἅγιε Σερῆνε, πρόσπεσε ὑπὲρ ἐμοῦ, ἵνα τελείως ὑγιάνω. [ὁρκίζω ὑμᾶς κατὰ τῶν τεσσάρων εὐ-] [αγγ]ελίων τοῦ υἱο[ῦ (10) ἢ τρι-] [ταῖο]ν ἢ τεταρταῖον ἢ [12] [ . [30]

10 .. ]διδων δὲ πυρετῶ[ν 11] [ ... ] ἀναχώρησον ἀπὸ τοῦ [δεῖνα, φοροῦντος τὸ θεοφυ-] λακτὸν τοῦτο, ὅτι πρ[οστάσσει σοι ὁ] θεὸς τοῦ Ἰστραήλ, ὃ[ν οἱ ἄγγελοι εὐ-] [λ]ογοῦσι καὶ ἄνθρωποι δ[εδίασι καὶ πᾶν] πνεῦμα φρίττον. πάλι[ν (8) δαι-] [μόν]ιον, οὗ τὸ ὄνομα σμ[12] ... οραν καὶ φοραν[10] το ἔχων πόδας λύ[κου, τοῦ δὲ] βατράχου τὴν κε[φαλήν .... ] ὁρκίζω αὐτὸ τοὺ[ς ἑπτὰ κύκλους] τοῦ οὐρανοῦ· τὸν πρῶ[τον ..... ,] τὸν δεύτερον ὑακ[ίνθινον, τὸν τρίτον] ἀδαμάντινον, τὸν [τέταρτον] μαλάκηκτον, τὸν πέμ[πτον ....... ,] τὸν ἕκτον χρυσίτην, τ[ὸν ἕβδομον] ἐλεφάντινον. ὁρκίζω [ὑμᾶς, ἀκά-] θαρτα πνεύματα, τὸν κύριον κακοῦν[τα·] μὴ ἀδικήσητε τὸν φοροῦντα τοὺς ὁρκισμοὺς τούτους, ἀναχωρήσατε ἀπ’ αὐτοῦ, μὴ ὑποκρύψητε ἐν τῇ γῇ ταύτῃ, μὴ ὑπὸ κλίνην, μὴ ὑπὸ θυρίδαν, μὴ ὑπὸ θύραν, μὴ ὑπὸ δοκούς, μὴ ὑπὸ σκεῦος, μὴ ὑπὸ βόθυνον κάμψητε. ὁρκίζω ὑμᾶς, ἅτι[να] ὠμόσατε ἐπὶ Σολομῶνος· μὴ ἀδικήσητε ἄνθρωπον, μὴ ἐν πυρί, μὴ [ἐν ὕδατι κακ-] ὸν ποιήσητε, τῷ ὅρκῳ φοβηθέντα τὸ ἀμὴν καὶ τὸ ἀλληλούϊα καὶ τὸ εὐαγγέλιον τοῦ κυρίου, ὃς ἔπαθεν δι’ ἡμᾶς τοὺς ἀνθρώπους. καὶ νῦν ὁρκίζω, ὅσα ἐστὶν πνεύματα ἢ κλαίοντα ἢ γελῶντα φοβερ[ὰ ἢ] ποιοῦντα τὸν ἄνθρωπον δυσόνει[ρον] ἢ ἔκθαμβ[ον,] ἢ ἀμαυρίαν ποιοῦντα ἢ ἀλλοιωσύνην φρενῶν ἢ ὑπ[ο]κλοπὴν καὶ ἐν ὕπνῳ καὶ δίχ[α] ὕπνου. ὁρκίζω αὐτὰ τὸν πατέρα κα[ὶ υἱὸ]ν καὶ ἅγιον [πνεῦμα] καὶ τοὺς ἁγίους ἀγγέλ[ους] τοὺς [ἐσ-] τῶτας ἐνώπιον τῆ[ς δεσποίνης ἡμῶν] ἀναχωρῆσαι ἀπὸ το[ῦ φοροῦντος] τοὺς φοβεροὺς κ[αὶ ἁγίους] [ὅρκ]ους, ὅτι κύριος Ἰησοῦς [κελεύει ... ] [Ἰησοῦ]ς, Ἰησοῦς, Ἰησοῦς, ΑΩ, Ἀδωναί, Ἐλωαί, Ἐλωέ εεεεεεε ηηηηηηη ιιιιιι οοοοοοο οο α . [45]

11 α αὔρα θη ι . . οα Ἐλωος αι ορρ ραπωχ .. . ηιαι αι αι Αἰών [Διὰ τὸ ὄνομα τοῦ πατρὸς] καὶ υἱ[ο]ῦ, τοῦ ἁγί[ο]υ [πνεύματος κα]ὶ τῆς δεσποίνης ἡμῶν, τῆς παναγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἁγιοτάτου καὶ προδρόμου Ἰωάννου τοῦ βαπτισ[τ]οῦ, καὶ τοῦ ἁγίου καὶ θεολόγου Ἰωάννου τοῦ εὐαγγελιστοῦ, καὶ τῶν ἁγίων πατέρων ἡμῶν ἀποστόλων καὶ πάντων τῶν ἁγίων· ἐξορκίζω πᾶν δῆγμα τοῦ [δ]ιαβόλου θηρίων τῶν ἐπὶ τῆς γῆς κατὰ τοῦ θεοῦ καὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τοῦ ἐλαίου τοῦ ἱ[εροῦ β]απτ[ισμοῦ, εἰς] τὸν τόπον τοῦτον, [ἰὸν ὅπ]ου ἔθηκας· ἵνα στάθητι [ἐπὶ τ]όπου καὶ μὴ ἀναδρά[μῃς] ἢ ἐπὶ τὴ 〈ν〉 καρδίαν ἢ ἐπὶ τὴν κεφαλὴ[ν] ἢ ἐπὶ τὴν βόλβ[α]να, ἀλλὰ στάθητι, ἐφ’ ᾧ τὸν ἰόν σου 〈ἔθηκασ〉, καὶ ἄπονος μείνῃ ὁ ἄνθρωπος διὰ τὸ πανάγιον καὶ [ἔντιμον] ὄνομα τοῦ παντο[κράτορος θεοῦ καὶ] Ἰησοῦ Χριστοῦ, το[ῦ υἱοῦ . [10]

12 .. ] [Ἐ]πικαλοῦμαί σε, [θεὸν τῶ]ν οὐρανῶν καὶ θεὸν τῆς γῆς καὶ θ[εὸν] τῶν διὰ [αἵματός σου] ἁγίων, τὸ πλήρωμα τοῦ αἰῶνο[ς] [ἡμῖν] χωρούμενο〈ν〉, ὁ ἐλθὼν τῷ κόσμῳ καὶ κατακλάσας τὸν ὄνυχα τοῦ Χάροντος, ὁ ἐλθὼν διὰ τοῦ Γαβριὴλ ἐν τῇ γαστρὶ τῆς Μαρία[ς], τῆς παρθένο[υ, ὁ] γεννηθεὶς ἐν Βηθλὲμ καὶ τραφεὶς ἐ〈ν〉 Ναζαρέτ, ὁ σταυρωθεὶς [ .

13 . ]ειτο [10]ου, διὸ τὸ καταπέτασμα τοῦ ἱεροῦ ἐράγη δι’ αὐτόν, ὁ ἀναστὰς ἐκ νεκρῶν ἐν τῷ τάφῳ τῇ τρίτῃ τοῦ θα[ν]άτου ἐφάνη ἑαυτὸν ἐν τῇ Γαλιλαίᾳ καὶ ἀνελθ[ὼν] ἐπὶ τὸ ὕψος τῶν οὐρανῶν, ὁ ἔχων [ἐξ εὐ]ωνύμων [μ]υρίους μυριάδας ἀγγέλων, ὁμοίως ἐκ δεξιῶν μυρίους μυριάδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγγέλων, βοῶντας μιᾷ φωνῇ τρί[τ]ον· ἅγιος, ἅγιος ὁ βασιλεὺς τοῦ αἰῶνος, διὸ οἱ οὐρ[αν]οὶ ἐκορέσθησαν τῆς θειότητος αὐτοῦ, ὁ ἐ〈λ〉άσας ὁδὸν ἐν τοῖς πτεροῖς τῶν ἀνέμων. ἐλθ[έ], τὸ ἔλεο[ς], ὁ θεὸς τοῦ αἰῶνος, ὁ ἀνελθὼν εἰς τὸν ἕβδομον οὐρανόν, ὁ ἐλθὼν ἐκ δεξιῶν τοῦ πατρός, τὸ ἀρνίον τὸ εὐλογημένον, διὸ αἱ ψυχαὶ ἐλευθερώθη[σαν] δι[ὰ] τοῦ αἵματος αὐτοῦ καὶ ἀνύγησαν δι’ ἑαυτῶν αἱ πύλαι χαλκαῖ δι’ αὐτόν, ὁ κατακλάσας τοὺς μοχλοὺ[ς σ]ιδηροῦς, ὁ λύσας τοὺς δεδημένους ἐν τῷ σκ[ότει], ὁ ποιήσας τὸν Χάροντα ἄσπορον, ὁ καταδήσα[ς τ]ὸν ἐχθρὸν ἀ[πο]στάτην, τὸν βληθέντα εἰς τοῦς ἰδίους τόπους. οἱ οὐρανοὶ ηὐλογήθησαν, καὶ ἡ γῆ ἐχ[άρ]η, ὅτι ἀπέστη ἀπὸ αὐτῶν ὁ ἐχθρὸς καὶ δέδωκας ἐλευθερίαν τῷ κτίσματι αἰτουμένῳ δεσπότην, Ἰ[η]σοῦς, ἡ φωνὴ ἡ [π]αραφήσασα τῶν ἁμαρτιῶν, ὅσοι ἐπικαλούμεθα τὸ ἅγιόν σου ὄνομα. αἱ ἀρχ[αὶ καὶ ἐξ]ουσίαι καὶ κοσ[μο]κράτορες τοῦ [σ]κότους, ἢ καὶ ἀκάθαρτον πνεῦμα ἢ καὶ πτῶσις δαίμονος μεσημβρι[ναῖ]ς ὥραις, εἴτε ῥίγος, εἴτε πυρέτιον εἴτε ῥιγοπυρέτιον, εἴτε κάκωσις ἀπ’ ἀνθρώπων, εἴτε ἐξου[σία]ι τοῦ ἀντικειμένου· μὴ ἰσχύσωσι κατὰ τῆς εἰκόνος, διὸ ἐπλάσθη ἐκ χειρὸς τῆς σῆς [θ]ειότητο[ς, ὅτι σ]ή ἐστι δύναμ[ις πᾶσα], τὸ ἔλεο[ς] τοῦ αἰῶνος, ἡ κρατήσασα 〈ἐσ〉 τοὺς αἰῶνας. [Χρ(ιστός)· ἐξορκίζω] σε, κ(ύρι)ε, π[αν]τοκράτωρ, πρωτογεν[έτω]ρ, [α]ὐτογενέτωρ, ἀσπερμογόνητε, [7]στεφανη ὁμοῦ παντεπόπτης σὺ καὶ Εἰάω, Σαβαώ, Βρινθαώ, ἔχε με υἱόν, παρ[α]φύλαξόν με ἀπὸ παντὸς πονηροῦ πν(εύμ)ατος καὶ ὑπόταξόν μοι πᾶν πν(εῦμ)α δαιμονίων φθειροποιούντων ἀκαθάρτων, ἐπίγαια, ὑπόγαια, ἔνυδρα καὶ χερσαῖα, καὶ πᾶσα〈ν〉 σκιά〈ν〉.

13a [col1,4] Χρ(ιστός). Ἀριμα Ἀριήλ Ἀζαήλ .

14 (col1,1) ..... Ἰωμαν Ἰωβαβ Ἠλι Ἠλι σαζαχθανι: Ἀναήλ Ἰούδα [Ἰ]εραήλ [Ἰ]εφθαε [Ἰ]ωναθάν [Ἰ]εροβοαλ [Ἰ]ωσήφ .. αιου [ ... ]ελαμ Ϊαχαζ [Ϊ]ακιν [ ] ... ρ . Κάτης Μαανα Μαγαβαήλ Μελεχειήλ .... ηλ Ἰησοῦς Ἰὼ σωτηρία φῶς μου θεοῦ ἰσχὺς θεοῦ Ἰάω πίστις Ἰὼ πατήρ θεέ μου, θεέ μου, ἐς τί με ἐνκατέλιπες χάρις θεοῦ Ἰάω ἐξο[μο]λόγησις οἰκτιρμοῦ Ἰάω διάνοιξις Ἰάω δόμα δικασμὸς ἀνώτερος Ἰάω πρόσθεμα ἔπαρσις Ἰάω κατάπαυσις Ἰάω κράτος Ἰάω ἀνάστασις Ἰάω ... ι . ἅγιον ἐκ παρακλήσ[εως] τί ἀγαθὸν θ[εός] βασιλεύς [μου θεός] θεός μου Ἄγγελοι, ἀρχάγγελοι, οἱ κατέχοντες τοὺς καταράκτους τῶν οὐρανῶν, οἱ ἀνατέλλοντες τὸ φῶς ἐκ τῶν τεσσάρων γωνιῶν τοῦ κόσμου· ὅτι δικάσιμον ἔχω μετά τινων ἀκεφάλων, κρατεῖτε αὐτοὺς καὶ ἐμὲ ἀπολύσατε διὰ τὴν δύναμιν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

15a τὸ ἐμοῦ αἷμα Χριστοῦ τὸ ἐκχυθὲν ἐ〈ν〉 τῷ κρανίῳ τόπῳ, φῖσαι καὶ ἐλέησον. ἀμήν, ἀμήν, ἀμήν. Ἄγγελοι, ἀρχάγγελοι, οἱ φυλάττοντες τοὺς καταράκτας τῶν οὐρανῶν, οἱ ἀνατέλλοντες τὸ φῶς κατὰ πάσης τῆς οἰκουμένης· ὅτι δικασμὸν ἔχω μετὰ κυνὸς ἀκεφάλου, ἐὰν ἔλθη, κρατεῖτε αὐτοῦ καὶ ἐμὲν ἀπολύσατε διὰ τὴν δύναμιν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἀμήν.

15b ΑΩ, Σαβαώθ. Θεοτόκε, ἄφθαρτε, ἀμίαντε, ἀμόλυντε μήτηρ Χριστοῦ, μνήσθητι, ὅτι σὺ ταῦτα εἶπες. σὺ πάλιν θεράπευσον τὴν φοροῦσαν. ἀμήν . Κ(ύρι)ε, ὁ δεσπ(ότης) τῆς οἰκουμένης, ἐκδίκησόν με μετὰ τοῦ ἐναντιοῦντός με καὶ μετὰ τοῦ ἐκβαλό〈ν〉τος με ἀπὸ τοῦ τόπου μου, καὶ ταχύ, κύριε, ἀπόδος αὐτῷ, ἵνα ἐμπέσῃ εἰς χεῖρας στεραιωτέρ(ας) αὐτοῦ.

16 Ἡ ἁγεία Τριάς, ἡ ἁγεία Τριάς, ἡ ἁγ[εία Τριάς.] διὰ τῶν ἁγίων μαρτύρω[ν εὔχομαι τῷ] κυρίῳ· καὶ γὰρ οὐκ ἀγνωεῖ τ[ὸ] ἡμῶ[ν πάθος ὁ] ἄνγελος, τὸ κατεμαρτύρ[ι, ὅτι τηρ]α[ν]η[κὸν] ἔχει τὸν τρόπων Θεοδόσις. ὅλ[α] τὰ ἐναντία πέποθα παρ’ αὐτοῦ τηρανεικῷ τρόπο[υ], μὴ εὑρὼν βουήθια, εἰ μὴ τὴν τοῦ θεοῦ τήναμιν κ[αὶ] τὴν ἡμῶν μαρτυρία διὰ τῶν ἁ[γίων.] καὶ διὰ τούτων προσφεύγω [σοι] καὶ τακρέω〈ν〉 βλέπω ἐπὶ τὴν [σὴν] ἁγιώτητα, εἵνα βλέπω τὴν [τ]ήναμιν, ὥσσα φαύλον με ἐποίησε. μετανασστηνάσον γὰρ κακ[ὰ ὅλα] διαπεπέποθα παρ’ αὐτοῦ. κύριε, μὴ παρώρα καὶ μὴ παραστά[τει] αὐτών, ὡς προέφην, αὐτὼν [τὸν] Θεοδόσιν, καὶ 〈μή〉 με

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμελήσῃς, ὅτι μόνος κύριοσς, [μ]ό[νος] θεός ἐστι ἐν [υ]ἱῷ κ[αὶ] ἐν τῷ πατρὶ καὶ ἁγίῳ π[νεύ-] ματει καὶ εἰς τοὺσς ἐῶνας εἰς τῶν ἐῶνας, ἀ[μήν,] ἀμήν, [ἀ]μήν, ἀμήν. κύριε, κύριε, κύριε, [ .... ]σ[ ... ]ρεως [6] [9] ν[ .... ]νος. Εὐαγγέλιον κατὰ Ματθαῖον · κατελθόντος δὲ τοῦ Ἰησοῦς ἀπὸ τοῦ ὄρους προσῆ[λ]θον αὐτῷ οἱ μαθητα[ὶ αὐτοῦ λέγοντ]ες· ‘διδάσκα[λ]ε, δίδαξ[ο]ν ἡμᾶς προ[σεύχε]σθαι, καθὼς καὶ [Ἰωάνν]ης ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ‘.

17a καὶ λέγει αὐτοῖς ὁ Ἰ(ησοῦ)ς· ‘ἐὰν προσεύχησθ‘, οὕτως λέγετε· ‘πάτερ ἡμῶ[ν, ὁ] ἐ〈ν〉 τοῖς οὐρανο〈ῖ〉ς, ἁγιασθήτω τὸ [ὄ]νομά σου, ἐλθάτω [ἡ β]ασιλεία σου, γενηθή[τω τὸ θέλημα σου ὡ]ς [ἐ]ν τ[ῷ ο]ὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶ〈ν〉 τὸν ἐπιούσ[ι]ον δὸς ἡμῖν σήμερον καὶ ἄφες τὰ ὀφλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφιλέταις 〈ἡμῶν, καὶ μὴ ἄγε ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πον〉ηροῦ, ὅτ[ι σοῦ] ἐστι ἡ δόξα εἰς τοὺς αἰῶνας τῶ[ν] αἰώνων.‘ Ἐκζορκισμὸ〈σ〉 Σαλομῶνος πρὸς πᾶν ἀκάθαρτον πν(εῦμ)α.

17b ἔ[δ]ωκεν θεός, ᾧ παραστ〈ή〉κουσιν μύριαι μυριάδες ἀγγέλω[ν] καὶ χίλιαι χιλιά〈δεσ〉. μεσημβρινὸν δαιμόνιον· νυκτερινοῦ [φ]ιρξοίας [ .. ]ασντο [ἡ]μερινῆς καὶ κατὰ τοῦ φοβεροῦ καὶ ἁγίου ὀνόματος φιρξοίας υαορ ου .... ορον ... [ἀ]νείκαστός ἐστιν καὶ [12] πομαι γα[ . ]ναντην ... τα διοικοῦντα τὴν [κτίσιν, 6]η τοῦ . ὑμᾶς τὸν β[ρ]α[χ]ίονα τοῦ ἀθανάτ[ου θεοῦ καὶ τὴν τ]ῆς δεξιᾶς αὐτοῦ χῖρα· ἐπὶ ἀσπίδα καὶ βασιλε[ίσκον] ἐπιβήσῃ καὶ καταπ〈α〉τήσεις λέοντα καὶ δράκοντα. ἢ νυκτερινῆς ἢ ὅσα τυφλὰ δαιμόνια ἢ κω[φὰ ἢ ἄλ]αλα ἢ νωδὰ ακα ἢ οιτο νόσημα κ〈α〉ὶ πονηρὸν συνάντημα ἀπὸ τοῦ φοροῦντος, ἀμήν. ἅγιος ἅγι[ος ἅ]γιος κύριος καὶ πάλιν ἰώμενος, ὁ ἐγ[είρ]ων τὸν Λάζαρον ἐκ νεκρ[ῶν ἤ]δη τεταρταίῳ, ὁ ἰασάμεν[ος τ]ὴν πενθερὰν Πέτρου, ὁ ποιήσας καὶ τὰς πολλὰς καὶ ἀφάτους ἰάσεις, πρὸς ἅ[ς] λέγουσιν ἐν τοῖς ἱεροῖς ε[ὐα]γγελίοις· ἴασ[α]ι τὴν φοροῦσαν τοῦτο τὸ θεῖον φυλακτήριον ἐν τῇ ἐπικειμένῃ αὐτῇ νόσῳ, εὐχαῖς καὶ πρεσβείᾳ τὴς ἀειπαρθένου μητ[ρός, τ]ῆς θεοτόκου καὶ πάσης Χ[ .

19 ] ερ. Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν· καὶ θεὸς ἦν ὁ λόγος. βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυε〈ί〉τ, υἱοῦ Ἀβραάμ. καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης. [ἀρχὴ τοῦ εὐα]γγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ θεοῦ, υἱοῦ Ἀβραάμ. ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀν[ατάξα]σθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων. ὁ κατοικῶν [ἐν βοηθεί]ᾳ τοῦ Ὑψίστου καὶ τὰ ἑξῆς. πάτηρ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτο τὸ ὄνομά σου κα[ὶ τὰ ἑξῆς]. δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Χ[(ριστό)ς]. .

20,rec .......... τρόπεον ....... ξια τὸν ῥαπισθέ[ν-] τα καὶ μαστιχθέντα καὶ 〈μὴ〉 ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπ’ αἰσχύνης ἐμπτυσμάτων. φθόνος καὶ φόνος καὶ διχοστασία κ[αὶ] μῖσος τὸν [ἀ-] μνὸν τοῦ [θεοῦ,] τὸν αἶρο[ντα] τὴν ἁμα[ρτί-] αν [κα]τὰ [κόσ-] μον [ ] (9) [τ]ὸ πάσης [ἐ]πιβ[ου]λῆς ἄφατόν τε καὶ ἀόρατον.

20,ver (17) ἐλθὲ καὶ διασκέ[δα]σον αὐτῶν πᾶσαν ἐπιβουλὴν πονηρὰν καθ’ ἡμῶν κινουμένην καὶ κατὰ τῆς ἁγίας ἐκκλησίας. 〈οὔτ〉ως διασκέδασον τὴν βουλὴν αὐτῶν, 〈ὡσ〉 [Ὀ]λοφ〈έρνη〉ς καὶ Ἅμαν καὶ αὕτως τὰς βου[λ]ὰς ἐκατάρτισαν. [ἀνά]δειξον πᾶσιν, [ὅτι] σὺ εἶ ἡ ἐλπὶς [πάντ]ων τῶν ἀπηλ[πισ]μένων καὶ [ἡ βο]ήθια τῶν [ἀβο]ηθήτων. ... ατ ... ες ... ον τῆς δεσποίνης ἡμῶν [ ] . [Ἐπι]καλοῦμαί σε, θεὲ παντω[κρά]τωρ, τὼν ὑπεράνω πάσης [ἀρ]χῆνς καὶ ἐξουσίας καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένω, καθημένου ἐπάνω χαιρουβὶν ἔμπροσθεν αὐτοῦ, διὰ τοῦ κυρίω ἡμῶν ΙΗΥ ΧΡ[Η]Υ , ἀγαπημένου παιτός· ἐ[ξαπόστ]ιλόν μου, δέσποδα, τοὺς ἁ[γίους] σου ἀρχαγγ[έ]λους, τοὺς κατάντικρυ τοῦ ἁγίας σου θησιαστηρίου ἑστῶτος πρὸς τὰς ἁγία σου διαγονίας τεταγμένους Γαβριήλ, Μιχαήλ, Ῥαφαήλ, Σαρουήλ, Ῥαγουήλ, Νουριήλ, Ἀναήλ, καὶ συνοδυπορίτωσάμ μοι ἐν δῇ σήμερον, ἡμέρᾳ, ἐν πάσης ὥραις ἡμέρας καὶ νυκτός, παρεχόμεν〈οί〉 μοι νίκας, χάριν, πρ[ᾶ]ξιν πρὸς τὸν δ(ε)ῖ(να), ἐπιτηχ〈ί〉αν πρὸς πάντας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνθρώπους, μικροὺς καὶ μεκάλους, οἷς ἐὰν ὁμιλήσω ἐν δῇ σήμερον ἡμέρᾳ, ἐν πάσης ὥραις ἡμέρας κ(αὶ) νυκτός, ὅτι ἔχω ἔμπροσθέν μου ΙΗΥ ΧΡΗΣ συνοδηγοῦντά μου καὶ συνοδυπορροῦντάν μοι, ὀπίσω μου Ἰδὼ Σαβαὼδ Ἀδω[ναΐ,] ἐκ τεξιῶν κ(αὶ) [ἀριστερῶν] μου τὸν ΘΝ Ἀβ[ραὰμ Ἰσαὰκ Ἰακώβ,] ἐπὶ τοῦ προσώπο[υ μου κ(αὶ) τῆς] καρδίας μου Γα[βριήλ, Μιχαήλ,] Ῥαφαήλ, Σαρουήλ, [Ῥαγουήλ,] Νουριήλ, Ἀναήλ· [φυλάξατέ] με ἀπὸ παντὸς δ[αίμονος] ἀρσε[νικοῦ ἢ θηλικοῦ κ(αὶ) ἀπὸ] παντ[ὸς στρα]τηγήματο[ς] κ(αὶ) ἀπὸ [πα]ντὸς ὀνόμα[τος], ὅτι σκιάζομαι ὑπὸ τὰς [πτ]έρηγες τῶ Χαιρουβίν.

21 ΙΗΣ ΧΡΗΣ 〈σ〉 ὐ βασιλεὺς τῶν διώνων πάντ[ων,] παντοκράτωρ, ἀμυθήτοις κτίσ[τα,] τροφεῦ, δέσποτα, παν[τ]οκράτωρ, εὔπαις, υἱὸς εὐνοῶν ἀστένακτόν μοι κ(αὶ) ἀμμύθητον ὄνομα, ἀλληθὸς ἀλληθῶς εἶτος ἀ[όρ]ατο[ν εἰ-] ς αἰῶνας ἐώνων, ἀμήν. [Verba Coptica] κ(ύρι)ε, ἐκέκραξα πρὸς 〈σ〉 έ, εἰσάκουσόμ με κατευθηνθήτου τῶ κ(ύρι)ε τη προβάσις ε πετεύσιμ με ὅτι ἔτι καὶ προσευχήμ μου .

22 ἀκούσοντει ὅτι πρὸς σέ, κ(ύρι)ε, κ(ύρι)ε, ἡ ὀφθαλμή μου πεσοῦντε. [γενομένου δὲ ἰσχυροῦ] ἀνέμου καὶ ἀρξαμένῳ αὐτῷ βυθήσαντι ἀνεβόησεν μεγάλῃ τῇ φωνῇ, καὶ ἐκτείνας τὴν χεῖραν αὐτοῦ ἐπελάβετο, καὶ γαληνὸς γενόμενος ἐβόα· ‘υἱὲ θεοῦ‘, καὶ λέγω· παντοδύναμε, δόξα σοι, ὁ θεὸς ὁ ποιῶν τοὺς ἀγγέλους, 〈ὁ〉 Αἰώνων ἄρχων· αἰνοῦσίν σε ὁ Αἰώνων χορὸς ἐπουράνιος .

23,rec .. καλῶ ἐπὶ [βοηθεία μου, ὅσ-] οι ἀγωνίσμασιν [ἡγιάσθησαν,] ἐν τῇ μνήμῃ τοῦ ἁγίου [Κοσμᾶ καὶ] ἐν τῇ μνήμῃ τοῦ ἁγίου [Δαμιανοῦ.

23,ver (18) ὑμν-] εῖ τὸν θεὸν χ[ορὸς Χερουβίν, καὶ] χορὸς ἀγγέλων συνυμνεῖ [Ἐκκ-] λησίαν τρισα[γία]ν, [καὶ] πολιτεία [τῶν ἁγίων εὐλογεῖ] τὸν βασιλέα Χριστὸν τὸν θεόν. χορὸς ἀγγέλων [πάντων καὶ] χορὸς τελ[είων ἁγίων ὑμνεῖ] σε, θεοτόκε [καὶ ἀειπαρθένε.] χορὸς ἀγγέλων [καὶ ἀρχ-] άγγελοι, εὐλογεῖτε Δέσποτά μου, θεὲ παντοκράτωρ, καὶ ἅγιε Φιλόξενε, πρόστατά μου, παρακαλῶ ὑμᾶς διὰ τὸ μέγα ὄνομα τοῦ δεσπότου θεοῦ· ἐὰν θέλημα ὑμῶν ἐστιν καὶ συνέρχεσθέ μοι λαβεῖν τὴν τραπεζῖτιν, παρακαλῶ κελεῦσαί με μαθεῖν καὶ λαλῆσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org